μὲν τοῖς σωματικοῖς ἀκολουθήσῃ πάθεσι, περιπέσῃ καὶ ταῖς σωματικαῖς μεταβολαῖς, ἂν δὲ τὰ τῆς ψυχῆς προτιμήσῃ καλά, τῆς ἀθανάτου ζωῆς ἀξιωθῇ. Εἰ γὰρ ἐξ ἀρχῆς θνητὸν αὐτὸν ἐποίησεν ὁ Θεός, οὐκ ἂν ἁμαρτόντα θανάτῳ κατεδίκασε· τοῦ γὰρ θνητοῦ θνητότητα οὐδεὶς καταδικάζει. Εἰ δ' αὖ πάλιν ἀθάνατον, οὐκ ἂν τροφῆς σωματικῆς προσδεῖσθαι αὐτὸν ἐποίησεν· οὐδ' ἂν οὕτω ῥᾳδίως μετενόησε καὶ τὸν γενόμενον ἀθάνατον θνητὸν εὐθέως ἐποίησεν. Οὐ γὰρ ἐπὶ τῶν ἁμαρτησάντων ἀγγέλων τοῦτο φαίνεται πεποιηκώς, ἀλλὰ κατὰ τὴν ἐξ ἀρχῆς φύσιν ἀθάνατοι διέμειναν, ἄλλην τῶν ἡμαρτημένων ἀπεκδεχόμενοι δίκην καὶ οὐ τὸν θάνατον. Βέλτιον οὖν ἢ τοῦτον τὸν τρόπον νοεῖν τὸ προκείμενον ἢ ὅτι θνητὸς μὲν κατεσκευάσθη, δυνάμενος δὲ ἐκ προκοπῆς τελειούμενος || ἀθάνατος γενέσθαι, τουτέστι δυνάμει ἀθάνα- f 184r
τος. Ἐπειδὴ δὲ οὐ συνέφερεν αὐτῷ πρὸ τῆς τελειότητος γνῶναι τὴν φύσιν αὐτοῦ, ἀπηγόρευσε γεύσασθαι τοῦ ξύλου τῆς γνώσεως. Ἦσαν γὰρ μᾶλλον δ' εἰσὶ καὶ νῦν ἔτι δυνάμεις ἐν τοῖς φυτοῖς μέγισται· τότε γὰρ ὡς ἐν ἀρχῇ τῆς κοσμοποιΐας ἀκραιφνεῖς οὖσαι ἰσχυροτάτην εἶχον τὴν ἐνέργειαν. Ἦν οὖν καὶ ἀπόγευσίς τινος καρποῦ, γνῶσιν ἐμποιοῦσα τῆς οἰκείας φύσεως. Οὐκ ἐβούλετο δὲ αὐτὸν ὁ Θεὸς πρὸ τῆς τελειώσεως γνῶναι τὴν οἰκείαν φύσιν, ἵνα μή, γνοὺς ἑαυτὸν ἐνδεᾶ πολλῶν ὄντα, τῆς σωματικῆς ἐπιμεληθείη χρείας, καταλιπὼν τὴν τῆς ψυχῆς πρόνοιαν. Καὶ διὰ ταύτην τὴν αἰτίαν ἐκώλυσεν αὐτὸν μεταλαβεῖν τοῦ καρποῦ τῆς γνώσεως. Παρακούσας δὲ καὶ γνοὺς ἑαυτὸν τῆς μὲν τελειότητος ἐξέπεσε καὶ τῆς δεσποτικῆς χρείας ἐγένετο ἐνδεής. Σκέπασμα γοῦν εὐθέως ἐζήτησε· φησὶ γὰρ ἡ Γραφή, ἔγνω ὅτι γυμνός ἐστι. Πρότερον ἐν ἐκστάσει αὐτὸν ἐποίησε καὶ ἐν ἀγνωσίᾳ ἑαυτοῦ. Ἐκπεσὼν οὖν τῆς τελειώσεως, ἐξέπεσεν ὁμοίως καὶ τῆς ἀθανασίας, ἣν ὕστερον ἀναλήψεται χάριτι τοῦ ποιήσαντος αὐτόν. Μετὰ δὲ τὴν ἔκπτωσιν καὶ ἡ τῶν κρεῶν ἀπόλαυσις συνεχωρήθη. Πρότερον μὲν γὰρ τοῖς ἀπὸ γῆς ἐκέλευσεν αὐτὸν μόνοις ἀρκεῖσθαι· ταῦτα γὰρ ἦν ἐν τῷ παραδείσῳ. Ἀπεγνωσμένης δὲ τῆς τελειώσεως, τῇ συγκαταβάσει λοιπὸν συνεχωρήθη τὰ τῆς ἀπολαύσεως».

η) Ὅτι καὶ ὁ Γρηγόριος Νύσσης ἐπεξηγούμενος τὸ ῥηθὲν τῷ Ἐκκλησιαστῇ, «τί τὸ γεγονός; αὐτὸ τὸ γενησόμενον· καὶ τί τὸ πεποιημένον; αὐτὸ τὸ ποιηθησόμενον» || ἔφη, ὅτι ὁ χειρὶ Θεοῦ πεποιημένος f 184v
ἄνθρωπος οὐχ ὃ νῦν ἐστι διὰ τὴν ἁμαρτίαν, ἤγουν τρεπτὸς καὶ φθαρτός, τοῦτο ἦν ἀπ' ἀρχῆς, ἀλλ' ὃ ποιηθήσεται ὕστερον, δῆλον ὅτι καὶ

[31]) σωματικῆς χρείας, παρὰ Migne. [32]) Πρβλ. Migne PG. 44,616 ἑξ.
[33]) Ἐκκλ. 1,9.

ἄφθαρτος. Ταύτην δὲ τὴν ἐξήγησιν οὐκ οἶμαι προηγουμένως εἰπεῖν τὸν ἅγιον, ἀλλὰ μεθ' ἑτέρας καὶ ταύτην κατὰ τὸ ἐνδεχόμενον ἐπαγαγεῖν. Τίς γὰρ οὐκ οἶδεν ὅτι τοῦτο ὁ Ἐκκλησιαστὴς περὶ πάσης τῆς κτίσεως εἴρηκε; «Ματαιότης, γάρ φησι, ματαιοτήτων, τὰ πάντα ματαιότης. Τίς περίσσεια τῷ ἀνθρώπῳ ἐν παντὶ τῷ μόχθῳ αὐτοῦ, ᾧ μοχθεῖ ὑπὸ τὸν ἥλιον; γενεὰ πορεύεται καὶ γενεὰ ἔρχεται, καὶ ἡ γῆ εἰς τὸν αἰῶνα ἕστηκε. Καὶ ἀνατέλλει ὁ ἥλιος καὶ δύνει ὁ ἥλιος καὶ εἰς τὸν τόπον αὐτοῦ ἕλκει, ἀνατέλλων αὐτὸς ἐκεῖ πορεύεται πρὸς Νότον καὶ κυκλοῖ πρὸς Βορρᾶν. Κυκλοῖ κυκλῶν πορεύεται τὸ πνεῦμα, καὶ ἐπὶ κύκλους αὐτοῦ στρέφεται τὸ πνεῦμα. Πάντες οἱ χείμαρροι πορεύονται εἰς τὴν θάλασσαν καὶ ἡ θάλασσα οὐκ ἔστιν ἐμπιπλαμένη. Εἰς τόπον οὗ οἱ χείμαρροι πορεύονται, ἐκεῖ αὐτοὶ ἐπιστρέφουσι τοῦ πορευθῆναι. Πάντες οἱ λόγοι ἔγκοποι, οὐ δυνήσεται ἀνὴρ τοῦ λαλεῖν, καὶ οὐκ ἐμπλισθήσεται ὀφθαλμὸς τοῦ ὁρᾶν, καὶ οὐ πληρωθήσεται οὖς ἀπὸ ἀκροάσεως. Τί τὸ γεγονός; αὐτὸ τὸ γενησόμενον· καὶ τί τὸ πεποιημένον; αὐτὸ τὸ ποιηθησόμενον». Προειπὼν ὁ Ἐκκλησιαστὴς περὶ τοῦ ἀστάτου τῆς κτίσεως, ἐλέγχει καὶ τὴν τῶν ἀνθρώπων δόξαν καὶ φαντασίαν καὶ τοὺς κενοὺς διαλογισμούς, ὡς ὅτι οὐκ ἀρκεῖ αὐτοῖς ἐκ τῶν γενομένων συνιδεῖν καὶ τὰ γενησόμενα ὡς τοιαῦτα ἔσονται, ἀλλ' ἀεὶ ἀδολεσχοῦσι περὶ καινῶν τινων ἀνάδειξιν· καὶ φησὶ «τί τὸ γεγονός»,
f 185r οἶδας δῆλον ὅτι τί τὸ γεγονός, οὕτω || καὶ τὸ μέλλον γενήσεσθαι. Εἰ δὲ τὸ τί γεγονὸς ἐκ τοῦ διαλογισμοῦ τῶν ἀνθρώπων ἐκλάβοιμεν, καὶ τοῦτο τῷ μέλλοντι προσθήσομεν, ὡσεὶ ἐλέγομεν αὐτὸ τὸ γενησόμενον τί ἔσται γεγονός, ἤτοι ἀποβησόμενον. Καθ' ἃ δὴ ὁ Θεολόγος Γρηγόριος ἐν τῇ μεταφράσει ἐξέλαβε· φησὶ γάρ. «Ἀλλ' ἄπληστόν ἐστι τὸ τῶν ἀνθρώπων φῦλον πρός τε τὸ λέγειν, πρός τε τὸ ἑτέρους λέγοντας ἀκούειν· ἔτι δὲ καὶ ὄμμασιν εἰκαίοις ἕκαστα τῶν παραπιπτόντων ὁρᾶν γλίχεται. Καὶ τί ἂν γένοιτο ὕστερον, ὅπερ οὐκ ἤδη τετέλεσται ἢ πραχθείη πρὸς ἀνθρώπων τί καινόν, τὸ μηδέπω εἰς πεῖραν ἐλθόν, ὃ τοῦ μνησθῆναι ἄξιον; Ἐγὼ μὲν γὰρ οἶμαι οὐδὲν ὅτι δ' ἂν εἴπῃ τις πρόσφατον ἢ καινὸν ἀναλογιζόμενος εὑρήσει μηδὲ τοῖς πάλαι ἄγνωστον. Ὥσπερ δὲ τὰ πρότερα καὶ ἀληθῆ κέκρυπται, οὕτω καὶ τὰ ἐνεστῶτα τῷ μετέπειτα χρόνῳ ἀμαυρωθήσεται. Ὅτι δὲ οὕτως ἔχει, καὶ τὸ ἑπόμενον τῷ Ἐκκλησιαστῇ δηλοῖ. «Καὶ οὐκ ἔστι πᾶν πρόσφατον ὑπὸ τὸν ἥλιον· ὃς λαλήσει καὶ ἐρεῖ, ἴδε τοῦτο καινόν ἐστιν, ἤδη γέγονεν ἐν τοῖς αἰῶσι

[4]) Αὐτ. 1,24ξ. [31]) Αὐτ. 9.

[11]) ἔσται A [12]) χείμαροι A [15]) πεπονημένον A
[19]) συνειδεῖν A [22]) εἰ . . . ἐκλάβομεν A

Ε.Υ.Δ. Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

τοῖς γενομένοις ἀπὸ ἔμπροσθεν ἡμῶν. Οὐκ ἔστι μνήμη τοῖς πρώτοις καί γε τοῖς ἐσχάτοις γενομένοις οὐκ ἔσται αὐτῶν μνήμη μετὰ τῶν γενησομένων εἰς τὴν ἐσχάτην». Καὶ ταῦτα μὲν οὕτως. Τὸ δὲ λέγειν σε, κἂν ἀπὸ σαυτοῦ, κἂν ἐκ τοῦ Νύσσης, ὅτι ἄτρεπτος ὑπῆρχεν ὁ Ἀδάμ, πάνυ σφαλερὸν καὶ ἐπικίνδυνον, ὥς γέ μοι καὶ τῇ ἀληθείᾳ δοκεῖ. Εἰ μὴ γὰρ τρεπτός, πῶς ἄλλος ἐξ ἄλλου ἐγένετο; Ἢ τῷ Θεῷ δίδως καὶ τοῦτο τὸ ἔγκλημα ;

θ) Ὅτι καὶ ὁ ἅγιος Ἀθανάσιος ἐν ταῖς πρὸς Ἀντίοχον ἀποκρίσεσί φησι διὰ παραδείγματος τῶν σπερμάτων, ὅτι ὥσπερ ἦν ἄφθαρτος ἀπ' ἀρχῆς ὁ ἄνθρωπος, οὕτω || καὶ ἐν τῇ ἀναστάσει ἐγερθήσονται. Τοῦτο δέ σε εἰδέναι χρή, ὅτι ταῦτα ἀποκρίσεις εἰσὶ σύντομοι ὀλίγων f 185v δεόμεναι τῶν ἀποδείξεων, ἴσως διὰ τὸ στενὸν τῆς διανοίας τοῦ ἐρωτῶντος. Μὴ εὑρίσκων οὖν ὁ Πατὴρ ἕτερον παράδειγμα προσφυέστερον ἢ συντομώτερον τῆς μελλούσης ἀποκαταστάσεως, τὸ πρὸ τῆς παραβάσεως παρήγαγεν, ὥσπερ καὶ λέγεται, ὅτι ἐν τῇ ἀναστάσει οἱ δίκαιοι ἐκλάμψουσιν ὡς ὁ ἥλιος καὶ ὥσπερ οἱ Εὐαγγελισταὶ τοῦτο ἐξέλαβον ἐπὶ τῆς μεταμορφώσεως τοῦ Χριστοῦ. Τί δὲ καὶ τὸ ἄτοπον, εἴπερ εἴπομεν τὸν ἄνθρωπον τοιοῦτον ἔσεσθαι ἐν τῇ ἀναστάσει, οἷος ἦν πρὸ τῆς παραβάσεως ; Ὁ γὰρ τὴν μείζονα δόξαν καὶ τιμὴν λαμβάνων, πάντως καὶ τὴν προτέραν, οὐχὶ ὁ τὴν ἥττονα πάντως καὶ τὴν προτέραν, μείζονα οὖσαν. Τοῦτο οὖν λογιστέον καὶ ἐπὶ τοῦ προκειμένου ζητήματος. Καὶ εἰ μὴ τοῦτο ἦν, οὐκ ἂν ὁ ἅγιος οὗτος, μάλιστα δὲ ὁ Ἀπόστολος τῷ τοῦ σπειρομένου κόκκου σίτου τυχὸν ἢ κριθῆς παραδείγματι ἐχρήσατο. Ὥσπερ γὰρ ὁ κόκκος οὐκ ἂν ἕνα κόκκον μετὰ ταῦτα φέρει, ἀλλὰ πολλούς, οὕτω καὶ ὁ ἄνθρωπος διὰ τῆς παρακοῆς ἀποθανών, οὐχ οἷος πρὸ τοῦ ἀναστήσεται, ἀλλὰ πολλῷ μᾶλλον κρείττων.

ι) Ὅτι ἐνεδέχετο ὁ Ἀδὰμ ἀποθανεῖν διὰ τὴν σύνθετον φύσιν, δαίμονες δ' οὔ, ἁπλοῖ ὄντες. Ὁρᾷς ὅπως καὶ αὐτὸς τὸ ἐνδεχόμενον ὁμολογεῖς καὶ μὴ βουλόμενος ; Οὐκοῦν οὐ πάντα ποιεῖ ὁ Θεός, ἀλλ' ὅσα ἐνδέχεται ἢ συμφέρει. Ὥστε εἰ ὁ ἄνθρωπος ἔσχε πρὸ τῆς παραβάσεως τὸ ἀθάνατον, ὥσπερ καὶ οἱ ἄγγελοι, οὐκ ἂν μετὰ ταῦτα, εἰ καὶ παραβὰς τὴν ἐντολήν, ἀπέθανεν. Εἰ δὲ ἀπέθανε, πάντως ὡς θνητός, εἰ καὶ ἐνεδέχετο τῇ τηρήσει τῆς ἐντολῆς τοῦτον || γενέσθαι ἀθάνατον, f 186r κατὰ χάριν ἐν τῇ φύσει ἐσχηκότα τὸ ἀθάνατον. Καὶ καλῶς εἶπας μετὰ ταῦτα καὶ μὴ βουλόμενος, ὅτι μετὰ τὴν ἁμαρτίαν παρεχώρησεν ὁ Θεὸς

[8]) σχόλιον ἐν τῇ φᾳ : αἱ τοιαῦται ἀποκρίσεις δοκοῦσι νενοθεῦσθαι ἐκ τῶν ὑστερογενῶν.



Ε.Υ.Δ. της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

τὸν θάνατον καὶ οὐκ ἐκώλυσεν αὐτὸν κατὰ τοῦ ἀνθρώπου, ἵνα μὴ ἀθάνατα ἁμαρτάνῃ. Ὥστε τὸ θανεῖν τὸν ἄνθρωπον οὐκ ἐκ Θεοῦ, ἀλλ᾿ ἐκ φύσεως καὶ τῆς γενομένης ἁμαρτίας, παραχωρήσεως μέντοι γε αὐτοῦ. Ὥσπερ γάρ τις κωλύων τὶ τῶν θηρίων οὐκ ἀφίησιν ὁρμῆσαι ὅπῃ ἂν βούλοιτο, συγχωρήσας δὲ ὁρμᾶν ποιεῖ κατὰ τῶν τυχόντων, οὕτω καὶ ὁ Θεὸς οὐκ αὐτὸς τὸν θάνατον ἔδωκεν, ἀλλὰ συνεχώρησε διὰ τὴν ἁμαρτίαν. Θάνατον δὲ φημὶ οὐ παρὰ μέρος, ἀλλ᾿ αὐτὸ τοῦτο τὸν χωρισμὸν τῆς ψυχῆς ἀπὸ τοῦ σώματος· ἐπεὶ σῶμα τὸ καθ᾿ αὑτὸ ἀκίνητον οὐκ ἀποθνήσκει.

ια) Ὅτι τοῦ ἀφθάρτου τὶ γένοιτ᾿ ἂν ἀφθαρτότερον ἢ τοῦ ἀθανάτου ἀθανατώτερον; Εἰ δὲ καὶ τοῦτο δώσομεν, φής, τὸ πρὸς τῷ κατὰ φύσιν λαβεῖν καὶ τὸ κατὰ τὴν προαίρεσιν. Λέγομεν οὖν ὅτι ὥσπερ μέσον τῆς παιδικῆς ἡλικίας καὶ τῆς γεροντικῆς ἡ ἀνδρική, οὕτω καὶ μέσον φθαρτοῦ καὶ ἀφθάρτου καὶ θνητοῦ καὶ ἀθανάτου εἶναί τινα ἑτέραν κατάστασιν δεῖ νοεῖν. Ἄλλως γὰρ τὰ τῶν ἁγίων ῥητὰ οὐ δυνάμεθα συμβιβάσαι. Τὸ δὲ λέγειν σε πρὸς τὴν κατὰ φύσιν ἀθανασίαν λαβεῖν καὶ τὴν κατὰ προαίρεσιν, οὐδὲν ἄλλο δεικνύεις, εἰ μὴ ὅτι οὐκ ἀθάνατοι διηνεκῶς οἱ τῆς τελειότητος ταύτης δεόμενοι. Πάντα γὰρ τὰ ἐν ἡμῖν ἢ κατὰ φύσιν εἰσὶν ἢ ὑπὲρ φύσιν ἢ παρὰ φύσιν· ἤτοι τὰ μὲν οἰκεῖα τῇ φύσει, ἃ καὶ ἀδιάβλητα καὶ ὡς ἐπὶ τὸ πλεῖστον ἀναγκαῖα, τὰ δὲ ὑψηλότερα ταύτης ἐπαινετά τε ὄντα καὶ τοῖς σπουδαίοις Θεοῦ χάριτι
186v ἑπόμενα, τὰ δὲ ἐκτὸς αὐτῆς καὶ παρὰ || τὴν χρῆσιν, ἃ καὶ ψεκτὰ καὶ οὐκ ἀναγκαῖα. Καὶ τὰ μὲν τῶν δύο καταστάσεων καὶ ἐφ᾿ ἡμῖν ἐστι καὶ οὐκ ἐφ᾿ ἡμῖν, οἷον ἐσθίειν τε καὶ γαμεῖν τοῦτο ἐφ᾿ ἡμῖν, τὸ δὲ ἀναπνεῖν οὐκ ἐφ᾿ ἡμῖν· ἀλλ᾿ οὐδὲ τὸ περιγενέσθαι ὕπνου πάντοτε ἐφ᾿ ἡμῖν, μείζονος γὰρ δέεται τῆς ῥοπῆς. Τὰ δὲ τῆς τρίτης πάντοτε ἐφ᾿ ἡμῖν, οἷον ποιεῖν τὸ κακὸν ἢ μὴ ποιεῖν. Ἔστι δὲ πρότερον τούτων τὸ κατὰ φύσιν. Εἰ μὴ γὰρ κατὰ φύσιν τι γένηται, οὔτε εἰς τὸ ὑπὲρ φύσιν δύναται ἐλθεῖν, οὔτε εἰς τὸ παρὰ φύσιν. Τούτων οὕτω σχεδὸν παρὰ πάντων ὁμολογουμένων, σκοπεῖν δεῖ, ποίας καταστάσεως ὑπῆρχεν ὁ Ἀδάμ. Ἀλλ᾿ εἰ μὲν ἀθάνατος καὶ κατὰ φύσιν εἶχε τὸ ἀθάνατον, πῶς ἔμελλε τοῦτο μετὰ ταῦτα λαμβάνειν ὑπὲρ φύσιν ὡς βραβεῖον τῆς τηρηθείσης παρ᾿ αὐτῷ ἐντολῆς; Ἀλλὰ θνητός; φαίνεται οὕτως ἔχειν. Ἐνδέχεται γὰρ μετὰ ταῦτα γενέσθαι ἀθάνατον. Περὶ γὰρ τῶν λοιπῶν δύο καταστάσεων περιττὸν λέγειν. Καὶ ἄλλως· εἰ κατὰ φύσιν καὶ ἀναγκαία ἐν αὐτῷ ἡ ἀθανασία, οἷον τὸ ἀναπνεῖν, πῶς ἐν τῇ προαιρέσει τὸ τοιοῦτον; Εἰ δὲ ἐν τῇ προαιρέσει, ὡς τὸ περιπατεῖν, τοῦτο οὐ μόνον κατὰ σοῦ, ὡς εἴπομεν, ἀλλὰ καὶ βλάσφημον. Εἶχε γὰρ τὸ

ποτὲ μὲν εἶναι θνητός, ποτὲ δ' ἀθάνατος, ὥσπερ εἶχε καὶ τὸ ποτὲ μὲν περιπατεῖν, ποτὲ δ' οὔ, καὶ ἐσθίειν καὶ μὴ ἐσθίειν, καὶ γελᾶν καὶ μὴ γελᾶν. Ἀλλ' ὅτι πλεῖστοι μὲν τὸν Ἀδὰμ εἶπον ἀθάνατον, ὀλίγοι δὲ θνητόν, τοῦτό σε ξενίζει ; Ἀλλ' ὡς πολλάκις εἴπομεν, ἀθάνατον μὲν ὡς πρὸς ἡμᾶς εἶπον, ἐν οἷς ὁ θάνατος τῇ παραβάσει τῆς ἐντολῆς ἐβεβαιώθη, θνητὸν δὲ ὀλίγοι, || f 187r ἐπεὶ οὐ καθ' ἡμᾶς εἶχε τὴν θνητότητα παγίαν.

ιβ) Παρήγαγες ἡμῖν χρῆσιν ἐκ τῶν εἰς τὴν ἱερὰν λειτουργίαν εὐχῶν τοῦ θείου Βασιλείου, ἔχουσαν οὕτως. «Πλάσας γὰρ τὸν ἄνθρωπον, χοῦν λαβὼν ἀπὸ τῆς γῆς, καὶ εἰκόνι τῇ σῇ, ὁ Θεός, τιμήσας, τέθεικας αὐτὸν ἐν τῷ παραδείσῳ τῆς τρυφῆς, ἀθανασίαν ζωῆς καὶ ἀπόλαυσιν αἰωνίων ἀγαθῶν ἐν τῇ τηρήσει τῶν ἐντολῶν σου ἐπαγγειλάμενος αὐτῷ». Τοῦτο δὲ οὐ μόνον οὐ δικαιοῖ σε, ἀλλὰ καὶ ἐλέγχει σφαλλόμενον. Εἰ γὰρ ἐν ἐπαγγελίᾳ ἥ τε ἀθανασία καὶ ἡ ἀπόλαυσις τῶν αἰωνίων ἀγαθῶν, ἤτοι τῶν ἀπὸ καταβολῆς κόσμου ἡτοιμασμένων οὐρανίων, πῶς αὐτὸς φὴς ἤδη ἀπολελαυκέναι τούτων τὸν Ἀδάμ ; Εὐδηλότερον δὲ τοῦτο, ὅτι ἔπαθλα τῆς ἀρετῆς καὶ τῆς φυλακῆς τῆς θείας ἐντολῆς τὰ θεῖα δῶρα τῷ ἀνθρώπῳ προὔκειντο καὶ ἐκ τοῦ λόγου τούτου τοῦ Πατρὸς τοῦ ἀποδεικνύοντος, ὅτι οὐκ ἔστιν αἴτιος τῶν κακῶν ὁ Θεός. Ἐπειδὴ γὰρ διὰ τοῦτο φησὶν ὁ ἀπ' ἐναντίας, διατὶ ἦν τὸ ξύλον ἐν τῷ παραδείσῳ καὶ διατὶ οὐκ εὐθὺς αὐτῷ συγκατεσκευάσθη καὶ τὰ ἐνδύματα, οὐκ ἀρνούμενος οὗτος, ἀλλ' ἀπολογούμενός φησιν, ὅτι ἔδει εἶναι ἐντολὴν τὴν δοκιμάζουσαν ἡμῶν τὸ ὑπήκοον. Διὰ τοῦτο ἦν φυτὸν ὡραῖον, καρπῶν εὔφορον, ἵνα ἐν τῇ ἀποχῇ τοῦ ἡδέος τὸ τῆς ἐγκρατείας καλὸν ἐπιδειξάμενοι, τῶν τῆς ὑπομονῆς στεφάνων δικαίως ἀξιωθῶμεν. Ἐπηκολούθησε δὲ τῇ βρώσει οὐ παρακοὴ μόνον ἐντολῆς, ἀλλὰ καὶ ἡ ἐπίγνωσις τῆς γυμνότητος. Καὶ πάλιν· «οὔτε οὖν ἐκ φύσεως ἔπρεπεν αὐτῷ ἔχειν τὰ σκεπάσματα, οὔτε ἐκ τέχνης· ἀλλ' ἕτερα ἦν εὐτρεπισμένα ἐπιδειξαμένῳ τὴν ἀρετήν, τὰ ἐκ τῆς θείας χάριτος ἐπανθεῖν τῷ ἀνθρώπῳ καὶ περιαστράπτειν μέλλοντα, φωτειναί τινες περιβολαί, ὁποῖαι αἱ τῶν ἀγγέλων ὑπὲρ τὴν τῶν ἀνθέων ποικιλίαν, ὑπὲρ τὴν τῶν ἀστέρων φαιδρότητα καὶ στιλβότητα. Διὰ τοῦτο οὖν οὐκ εὐθὺς τὰ ἐνδύματα, ἐπειδὴ ἆθλα ἦν ἀρετῆς ἀποκεί || f 187v μενα τῷ ἀνθρώπῳ, εἰς ἃ φθάσαι ὑπὸ τῆς ἐπηρείας τοῦ διαβόλου οὐκ

9) Εὐχολόγιον τὸ μέγα, Βενετία 1839 σ. 86. ἐν τῇ φα : Βασιλείου
10) ἐν τῇ φα : τὰ ὅμοια καὶ Παντολέων, διάκονος τῆς μεγάλης Ἐκκλησίας, φησὶν ἐν τῷ περὶ τῶν Ταξιαρχῶν τῶν ἄνω Δυνάμεων.

Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ἐπετράπη». Ἀξιόχρεως δ' ἐπὶ τούτοις μάρτυς καὶ ὁ θεῖος Φώτιος Κωνσταντινουπόλεως. Ἐπιλύων γάρ τινα ζητήματα, παρὰ τοῦ Ἀμφιλοχίου μητροπολίτου Κυζίκου προβληθέντα αὐτῷ, φησὶ πρὸς τὸ τί τὸν παράδεισον ἐφύτευσεν ὁ Θεός, μέλλων εὐθὺς ἐκβάλλειν τὸν Ἀδὰμ ἐξ αὐτοῦ, οὕτω. «Φαμὲν ὡς ὁ Θεὸς ἐφύτευσε τὸν παράδεισον οὐ τὸν Ἀδὰμ ἐκεῖθεν μέλλων ἐλαύνειν· οὐδὲ γὰρ οὐδὲ ἔμελλεν, οὐδὲ ἔθετο σκοπὸν χερσὶ διαπλάττων τὸν Ἀδὰμ καὶ τὸν παράδεισον φυτουργῶν ὑπερόριον εὐθὺς ἐκεῖθεν ποιεῖν καὶ τῆς ἀφορισθείσης αὐτῷ μακαρίας διαγωγῆς. Ἀλλ' ἐκεῖνος τὸν νόμον τῆς ἐντολῆς εἰς ἀθέτησιν λύσας καὶ τὴν ἄλλην εὐφροσύνην εἰς λύπην μετήνεγκε καὶ τοῦ παραδείσου τὴν ἐκβολὴν συνεισήνεγκεν. Ἐπεὶ ὥσπερ θάνατον ὁ Θεὸς οὐκ ἐποίησεν, ἀλλ' ἐν ἀρραβῶνι τῆς ἀθανασίας τὸν ἄνθρωπον ἐπλαστούργησεν, οὕτως οὐδὲ τοῦ ἱεροῦ χωρίου, οὐδὲ τῆς μακαρίας αὐτὸν τρυφῆς ὑπερώρισεν· ἀλλ' αὐτὸς ὁ τοῦ παραδείσου πρῶτος πολίτης, τῇ συμβουλῇ τοῦ ὄφεως, τῆς ἐντολῆς προτιμήσας τὴν παράβασιν, ἑαυτῷ καὶ τὸν θάνατον καὶ τὴν ἐκβολὴν τοῦ παραδείσου κατειργάσατο». Καὶ ἐν ἑτέρῳ· «μεθόριον γὰρ ὥσπερ ὁ ἄνθρωπος γεγονὼς καὶ δυνάμενος, εἴπερ βούλοιτο, θεωθῆναι, οὐκ ἔχων δὲ ἀνάγκην ἄνπερ βούλοιτο πρὸς τὰ χείρω ῥέψαι ἀναστέλλουσαν τὴν ὁρμήν». Ὅρα καὶ οὗτος ὁ Πατὴρ οὐκ ἀθάνατον πλαστουργηθῆναι τὸν Ἀδὰμ ἀποφαίνεται, ἀλλ' ἐν μεθορίῳ.

f 188r ιγ) Ὅτι ἀπαθὴς ὁ ἄνθρωπος πρὸ ‖ τῆς παραβάσεως, μετὰ δὲ τὴν παράβασιν εἰσῆλθε τὰ σωματικὰ πάθη, καὶ ὅτι οὐ θνητὸς ἐπλάσθη παρὰ τοῦ Θεοῦ. Περὶ τούτου καὶ ἡμῖν ἐλέχθη καὶ οὐκ ἐναντιούμεθα.

ιδ) Ὅτι οὐ μετεῖχεν αἰσθητῆς καὶ ῥευστῆς βρώσεως ὁ Ἀδάμ, ὡς μὴ ἔχων τί τὸ εἰς τοῦτο καταυγάζον καὶ ὅτι ἀδιάπνευστον τὸ τοῦ Ἀδὰμ σῶμα ὡς ἄφθαρτον. Ἡμεῖς δὲ μανθάνομεν ἐκ τῆς θείας Γραφῆς ὡς ἐμπνευσθὲν παρὰ Θεοῦ, τοῦ τε πατρὸς ἡμῶν Βασιλείου καὶ τοῦ Δαμασκηνοῦ Ἰωάννου ἀκούομεν καὶ ἀέρι διαυγεστάτῳ περιλάμπεσθαι τὸν παράδεισον καὶ ὅτι πνεῦμα ἐκεῖ μέτριον, λεπτὸν καὶ ἡδεῖαν ἀναπνοὴν παρεχόμενον κούφως καὶ προσηνῶς ἐπιπνέον, καὶ τοῦ ἁγιωτάτου Φωτίου, Ὠριγενιστὰς ἀποκαλοῦντος τοὺς λόγῳ μὲν τὸν παράδεισον πλάττοντας, ἔργῳ δὲ διαβάλλοντας, ὡσαύτως καὶ τὰ τούτου φυτὰ καὶ τὴν βρῶσιν καὶ ἁπλῶς τὴν τῶν ὄντων δημιουργίαν εἰς νοητήν τινα σκηνὴν ἀναφέροντας, ὧνπερ κεφαλαίων τὴν καθόλου περὶ τούτων πραγματείαν καταλιμπάνομεν διὰ τὴν μακρηγορίαν. Φησὶ δὲ καὶ ὁ ἅγιος Νεῖλος ὁ Σιναΐτης ἐν τρίτῳ τῶν ἀσκητικῶν αὐτοῦ πρὸς Εὐλό-

[a]) Ἀμφιλόχια, ἐρώτ. ΝΑ' Migne PG. 101, 381. ἐν τῇ ᾤᾳ : Φωτίου.

Ε. Δ τμ. Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

γιον λόγῳ περὶ τῆς τῷ πρωτοπλάστῳ ἐπιτραπείσης παρὰ Θεοῦ βρώσεως οὕτω. «Καρποῦ δὲ παντὸς τῶν ἐν τῷ παραδείσῳ φυτῶν ἀπόλαυσιν ἐπέτρεψεν αὐτεξούσιον, ἑνὸς ἀπέχεσθαι μόνου κελεύσας, οὐ φθόνῳ τῆς γεύσεως, γυμνάζων δὲ τέως πρὸς εὐπείθειαν, ἄλλης οὐκ οὔσης ὕλης πρὸς τὴν νομοθεσίαν ἐπιτηδείας, ἵν' εἰδῇ τῶν ἀλόγων ζῴων ἡγεμονεύων πάντων, ὅτι καὶ αὐτὸς ὑπόκειται νόμῳ καὶ τὴν ἐντολὴν ἔχει τῆς πρὸς τὸν ἐπιτάξαντα ὑποταγῆς σημεῖον ἀρίδηλον». Καὶ μετ' ὀλίγα. «Τίς οὖν ἄρα ἔπρεπεν ἢ συνέφερεν ἐκείνῳ διαταγὴ ἣν ἐπετάγη νομοθετούμενος ἢ ἣν κατεδικάσθη ἀλογήσας τῆς ἐντολῆς, ὅτε πᾶσαν εἶχεν ἀπόλαυσιν καὶ τέρψιν τῆς ἐν τῷ παραδείσῳ θεωρίας καὶ χρήσεως τῶν διαφόρων φυτῶν ἢ ὅτε ταλαιπωρούμενος τοῖς γεωργικοῖς μόχθοις ἐν ἱδρῶτι τοῦ προσώπου τῆς τροφῆς || μετελάμβανεν, ὅτε καρπῶν ὧν f 188v
ἤθελεν ἀμερίμνως ἀπέλαυε καὶ πᾶν τὸ τερπνὸν ἐδρέπετο τῇ ἐκτάσει ταύτης εἰς τὴν ἐδωδὴν μόνον σκυλλόμενος καὶ τὴν ὄρεξιν ἀκαμάτως δεξιούμενος εἰστία τῷ τὴν ἐπιθυμίαν κινήσαντι πρὸς ἔφεσιν βρώματι πληροφορῶν ταύτην καὶ παραμυθούμενος φυσικῷ κεκαρυκευμένῳ σίτῳ, ἢ ὅτε σκαπάνην καὶ δίκελλα/ καὶ ἄρπην μετεχειρίζετο αὐλακίζων ἀρότρῳ τὴν αὐτομάτως πρὸ μικροῦ τὰ χρήσιμα βρύουσαν γῆν;». Ὡς δὲ καὶ Γρηγόριος Θεσσαλονίκης, ὁ καλούμενος Παλαμᾶς, πρὸς τὴν μονάζουσαν Ξένην περὶ γαστριμαργίας καὶ φιληδονίας ἐπάγει. «Εἰ γὰρ καὶ πρῶτος ὁ νοῦς ἐστιν ὁ διατεθεὶς κακῶς, ἀλλὰ κάτωθεν διὰ τῶν αἰσθήσεων ἀναμαξάμενος τὴν φαντασίαν τῶν αἰσθητῶν σωμάτων, οὕτω πρὸς ἐκεῖνα διετέθη καὶ μάλιστα διὰ τῶν ὀφθαλμῶν πρώτων δυναμένων καὶ πόρρωθεν τὸ μύσος ἐπισπάσασθαι πρὸς τὴν παράχρησιν ἐπαίρεται καὶ τούτου σαφὲς μαρτύριον ἡ προμήτωρ καθέστηκεν Εὔα. Πρῶτον γὰρ εἶδεν ὅτι καλὸν εἰς ὅρασιν καὶ ὡραῖον τοῦ κατανοῆσαι, καὶ τότε συγκατατεθεῖσα τῇ καρδίᾳ ἥψατο καὶ ἐγεύσατο τοῦ ἀπηγορευμένου ξύλου. Καλῶς ἄρ' ἐλέγομεν, ὅτι προτερεύει καὶ προοίμιόν ἐστιν ἡ πρὸς τὰ κάλλη τῶν σωμάτων ἧττα τῶν αἰσχρῶν παθῶν». Ναὶ μὴν καὶ ὁ Σιναΐτης Γρηγόριος περὶ τῆς γαστρὸς «δι' αὐτῆς, φησίν, ἐκπεπτώκαμεν τοῦ πρώτου καὶ δευτέρου ἀξιώματος τοῦ θεϊκοῦ, διότι φθαρέντος τοῦ ἀρχῆθεν πάλιν ἀνεκαινίσθημεν ἐν Χριστῷ. Καὶ ἰδοὺ ἐκπεπτωκότες ἐσμὲν ἄρτι ἐκ τοῦ Θεοῦ, κἂν ἀγνοοῦντες ἐπαιρόμεθα διὰ

[1]) ἐν τῇ ῴᾳ : Νείλου. [20]) ἐν τῇ ῴᾳ : Γρηγορίου Θεσσαλονίκης. [30]) Ἐν τῇ ῴᾳ : Γρηγορίου τοῦ Σιναΐτου.

[13]) ἀπήλευε A [15]) ἑστία A [17]) δίκελαν A

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

τῆς τῶν ἐντολῶν ἀμελείας τῶν φυλασσόντων καὶ αὐξανόντων τὴν χάριν ἐν προκοπῇ, κἂν δοκῶμεν μετὰ Θεοῦ εἶναι». Ἆρ᾽ οὔ σοι σαφῶς οὗτοι αἰσθητὴν εἶναι τὴν ἀπαγορευθεῖσαν βρῶσιν ἔδειξαν ; Καὶ ὁ τῆς Κλίμακος δὲ Ἰωάννης περὶ γαστριμαργίας διαλεγόμενος καὶ ἕτεροι τῶν Πατέρων δι᾽ αὐτῆς φησὶ πεπτωκέναι τὸν Ἀδάμ. Ὅθεν καὶ ἡμεῖς τούτοις ἑπόμενοι βρῶσιν μὲν αἰσθητὴν ὁμολογοῦμεν. Πῶς δὲ ᾠκονομεῖτο ἢ τί τὸ ἀναγκάζον οὐ πολυπραγμανοῦμεν, εἰ μὴ ὅτι ἀναγκαία ἡ
189r τοῦ παραδείσου τρυφὴ πρὸς τὴν ἐκείνου || κατάστασιν. Κατὰ σαυτοῦ δὲ καὶ τὸν . . . . ἐκίνησας. Ὅτι καὶ τὸν Ἀββᾶν Ἰσίδωρον παρήγαγες μάρτυρα, λέγοντα ἐν μιᾷ τῶν ἐπιστολῶν οὕτω. «Καταρᾶται μὲν τὴν συκῆν ὁ Χριστός, ἵνα δείξῃ τοῖς Ἰουδαίοις, ὅτι καὶ κολάζειν δύναται. Ἐξηράνθη οὖν τὸ ξύλον, ἵνα φοβίσῃ ἀνθρώπους· ἅμα δέ τις τούτῳ καὶ ἀπόρρητος συμπλέκεται λόγος παρὰ σοφῶν γερόντων εἰς ἡμᾶς διαφοιτήσας, τὸ ξύλον τῆς παραβάσεως τοῦτο ἦν, οὗ τοῖς φύλλοις παραβάντες εἰς σκέπην ἐχρήσαντο καὶ κατηράσθη παρὰ Χριστοῦ φιλανθρώπως, εἰς τὸ μηκέτι καρπὸν ἐνεγκεῖν αἴτιον ἁμαρτίας». Ἰδοὺ γὰρ καὶ οὗτος κατὰ ἀλήθειαν ξύλον εἶναι τὸ ἀπαγορευθὲν ἀποφαίνεται. Ὅ γε μὴν Θεόφιλος Ἀλεξανδρείας ἐπὶ τούτῳ ποιούμενος τὸν λόγον, φησί. «Τὸ οὖν ἔτι ἐκ τῆς γῆς εἰποῦσα καὶ τὸ κατὰ ἀνατολὰς σαφῶς διδάσκει ἡμᾶς ἡ Γραφὴ οὕτω τὸν παράδεισον ὑπὸ τοῦτον τὸν οὐρανόν, ὑφ᾽ ὃν καὶ ἡ ἀνατολὴ καὶ γῆ δῆλον ὅτι· ἑβραϊστὶ δὲ τὸ Ἐδὲμ λέγεται τρυφή. Μέσος οὖν ὁ ἄνθρωπος τῶν δύο ἐγεγόνει, οὔτε θνητὸς ὁλοσχερῶς, οὔτε ἀθάνατος καθόλου, δεκτικὸς δὲ ἑκατέρου. Οὕτω καὶ ὁ παράδεισος ὡς πρὸς καλλονὴν μέσος τοῦ οὐρανοῦ καὶ τοῦ κόσμου γεγένηται». Φησὶ δὲ καὶ ὁ ἅγιος Ἐπιφάνιος ἐν τῷ Ἀγκυρωτῷ. «Οὗτος τοίνυν ὁ Ἀδὰμ τεθεὶς ἐν τῷ παραδείσῳ ἔφαγεν ἀπὸ τοῦ ξύλου». Καὶ μενά τινα. «Εἰ τοίνυν οὐκ ἔστιν αἰσθητὸς παράδεισος ἐπὶ τῆς γῆς, πάντως οὐδὲ πηγή, οὐδὲ ποταμός, οὐδὲ τέσσαρες ἀρχαί, οὐδὲ συκῆ, οὐδὲ ξύλον. Εἰ οὐκ ἔνι ξύλον, οὐκ ἔνι Εὔα, οὐδὲ Ἀδάμ, οὐκ εἰσὶν ἄνθρωποι, ἀλλὰ μῦθος λοιπὸν ἡ ἀλήθεια, καὶ ἀλληγορεῖται πάντα κατὰ τὸν θεήλατον Ὠρεγένην». Τὰ αὐτὰ καὶ ὁ τοῦ μεγάλου Γρηγορίου αὐτάδελφος Καισάριος τοῖς Κωνσταντινουπολίταις ἀποκρίνεται λέγων.

10) ἐν τῇ ᾤᾳ: Ἰσιδώρου. 19) ἐν τῇ ᾤᾳ: Θεοφίλου Ἀλεξανδρείας. 25) Κεφ. 58, Migne PG. 43, 117. 120 (μετὰ σημαντικῶν παραλλαγῶν). Πρβλ. καὶ 89, 541. ἐν τῇ ᾤᾳ : Ἐπιφανίου. 31) ἡ περίοδος «τὰ αὐτὰ καὶ ὁ . . . οὐθ᾽ ἕτερος καθ᾽ ἡμᾶς» ἐκ τῆς κάτω ᾤας συνεπείᾳ παραπεμπτικοῦ σημείου.

21) ἑβραϊστὴ A

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

«Εἰ δὲ οὐκ ἐπὶ γῆς ὁ παράδεισος, κατὰ τὸν μυθολόγον, οὐδ' ἡ κρήνη τετραχῶς διαιρουμένη, πόθεν οὖν προχεῖται Γειών, Φισών, Τίγρις καὶ ὁ Εὐφράτης; Ποῦ δὲ ἐν οὐρανοῖς συκῆ ἢ σταφυλή, οἷς παραβάντες περιεστείλαντο; Εἰ δὲ οὐκ αἰσθητὸν καὶ παρ' ἡμῖν τὸ χωρίον, οὐδὲ συκῆ πάντως· εἰ δ' οὐχ ὑπάρχει τὸ φυτόν, οὐ βεβρώκασιν οἱ προπάτορες· εἰ δὲ οὐκ ἔδοντο, οὐ παρέβησαν, οὐδ' ὑπάρχει ὁ Ἀδάμ, οὐδ' ἐξ ἐκείνου ἡ Εὔα, οὐδ' ἐξ ἀμφοῖν ἡμεῖς, οὐθ' ἕτερος καθ' ἡμᾶς». Ἐντράπηθι οὖν ἐντεῦθεν μὴ κατ' ὀλίγον εἰς τὴν τοῦ Ὠριγένους δόξαν ἐμπέσῃς καὶ ἡ ἄλογός σου πρὸς τὸν πρωτόπλαστον εὐλάβεια ἑτέραν ἀφθαρτοδόκησιν ἐκφύῃ. Γινώσκων γὰρ γίνωσκε, ὅτι τὰ ἱστορικὰ βιβλία ἀλληγορίας οὐ δέχονται, ὡς τὰ προφητικά, εἰ καὶ παρά τισιν ἐπετηδεύθησαν, ὥστε καὶ τὴν ἔννοιαν τῆς Γραφῆς σῴζεσθαι καὶ εἰς ὑψηλότερόν τι χειραγωγεῖν τὸν θεωρητικὸν ἄνθρωπον. Φησὶ δὲ καὶ ὁ Σιράχ· «χαλεπώτερά σου μὴ ἐρεύνα· καὶ ἰσχυρότερά σου μὴ ἐξέταζε· ἃ προσετάγη σοι, ταῦτα διανοοῦ· οὐ γάρ ἐστι χρεία τῶν κρυπτῶν». Ξύλον οὐκοῦν γέγραπται, ξύλον καὶ αὐτὸς λέγε.

ιε) Ὅτι πολλὰ δι' ἑτέρων ἡ ἁγία Γραφὴ διδάσκει, ὥσπερ δὴ καὶ f 189v ἐπὶ Θεοῦ πολλὰ σωματικώτερον ἐκλαμβάνει, ταῖς ἀσθενείαις ἡμῶν συγκαταβαίνουσα. Ἀλλ' ἔδει συνιδεῖν σε, ὅτι εἰ καὶ σωματικώτερόν τισιν ἐχρήσατο ἡ Γραφὴ ἐπὶ Θεοῦ συγκαταβαίνουσα, ὡς ἔφης, ἀλλὰ τὰ ἐν ἑτέροις ταύτῃ εἰρημένα οὐκ ἀφίησιν ἡμᾶς τι σωματικώτερον ἐπὶ Θεοῦ λογίσασθαι, τὸ ἀπερίγραπτον αὐτὸν ἀποδεικνύειν. Ταῦτά τε καὶ τῆς ἐννοίας μὴ ἐάσῃς ἀνοίκειόν τι ἐπὶ Θεοῦ λογίσασθαι. Ἐπὶ δὲ τοῦ Ἀδὰμ καὶ τοῦ ἐνδύματος αὐτοῦ τὰ αὐτὰ πανταχοῦ ἐν τῇ Γραφῇ. Ἐπεὶ οὐδ' ἀνάγκη συγκαταβατικῶν ῥημάτων ἐν τούτῳ, ὡς ἐπὶ Θεοῦ. Διὸ δίκαιον ἔξω τῆς θείας Γραφῆς μηδέν τι λαλεῖν ἢ λογίζεσθαι. Γέγραπται γὰρ ἐν τῷ Δευτερονομίῳ· «οὐ προσθήσετε πρὸς τὸ ῥῆμα», καὶ αὖθις «οὐκ ἐκκλινεῖς δεξιὰ ἢ εὐώνυμα». Ἀλλ' οὐ δίκαιον μὴ καί τινα τῶν τε τοῦ θείου Βασιλείου καὶ τοῦ χρυσορρήμονος Ἰωάννου εἰς μέσον ἀγαγεῖν. Τῶν γὰρ λοιπῶν ἁγίων Πατέρων ἐν ἰδίαις ὑποθέσεσι πολλάκις ῥητά τινα τῆς ἁγίας Γραφῆς λαμβανόντων, συμβαίνει μὴ πάντῃ τὴν ἑρμηνείαν κατὰ νοῦν συμβαίνειν τῆς Γραφῆς, ἀλλὰ κατὰ τὴν προκειμένην ὑπόθεσιν. Ἐπὶ δὲ τούτων καὶ τῶν τοιούτων ἑρμηνευόντων τὴν ἁγίαν Γραφὴν οὐκ ἔνεστι ταὐτὸν εἰπεῖν, πρὸς τὴν διά-

[1]) Πεῦσις—ἀπόκρισις ΡΜΖ', παρὰ Migne PG. 38, 1097. ἐν τῇ ᾤᾳ: Καισαρίου. [14]) Σοφ. Σειρ. 3,21. ἐν τῇ ᾤᾳ: Σιράχ. [27]) ἐν τῇ ᾤᾳ: Δευτερονομίου.

[10]) ἐκφύει A

Ε.Υ. της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

νοιαν τῆς Γραφῆς τὴν ἐξήγησιν ποιουμένων. Καὶ ὁ μὲν θεῖος Βασίλειος ἐν τῇ ἐνάτῃ ὁμιλίᾳ τῆς ἑξαημέρου τάδε φησί. «Οἶδα νόμους ἀλληγορίας, εἰ καὶ παρ' ἐμαυτοῦ μὴ ἐξευρών, ἀλλὰ τοῖς παρ' ἑτέρων πεποιημένοις περιτυχών, ἃς οἱ μὴ καταδεχόμενοι τὰς κοινὰς τῶν γεγραμμένων ἐννοίας τὸ ὕδωρ οὐχ ὕδωρ λέγουσιν, ἀλλά τινα ἄλλην φύσιν, καὶ f 190r τὸν ἰχθὺν πρὸς τὸ ἑαυτοῖς δοκοῦν ἑρμηνεύουσι, καὶ ἑρπετῶν || γένεσιν καὶ θηρίων ἐπὶ τὰς οἰκείας ὑπονοίας παρατρέψαντες ἐξηγοῦνται, ὥσπερ οἱ ὀνειροκρῖται τῶν φανέντων ἐν ταῖς καθ' ὕπνον φαντασίαις πρὸς τὸν οἰκεῖον σκοπὸν τὰς ἐξηγήσεις ποιούμενοι. Ἐγὼ δὲ χόρτον ἀκούσας, χόρτον νοῶ, καὶ φυτὸν καὶ ἰχθὺν καὶ θηρίον καὶ κτῆνος· πάντα ὥσπερ εἴρηται, οὕτως ἐκδέχομαι. Καὶ γὰρ οὐκ ἐπαισχύνομαι τὸ εὐαγγέλιον». Καὶ αὖθις. «Ἀλλὰ τοῦτό ἐστιν ἑαυτὸν σοφώτερον ποιοῦντος τῶν λογίων τοῦ Πνεύματος καὶ ἐν προσποιήσει ἐξηγήσεως τὰ ἑαυτοῦ παρεισάγοντος». Ἐν δὲ τῷ περὶ τοῦ παραδείσου οὕτως. «Οὔτε τὰ σωματικὰ ἐκβάλλομεν, καὶ τὰ πνευματικὰ ἐπιζητοῦμεν. Ὡς γὰρ ἐπὶ τοῦ νόμου ἦν μὲν καὶ τὸ αἰσθητόν, ἀλλὰ τύπον ἐποίει τοῦ νοητοῦ, οὕτω καὶ τὸν παράδεισον νοοῦμεν σωματικῶς, ἀλληγοροῦμεν δὲ πνευματικῶς». Ὁ δὲ χρυσορρήμων Ἰωάννης εἰς τὸ «καὶ ἐφύτευσεν ὁ Θεὸς παράδεισον ἐν Ἐδὲμ κατὰ ἀνατολὰς καὶ ἔθετο ἐκεῖ τὸν ἄνθρωπον, ὃν ἔπλασε», φησί. «Διὰ τοῦτο καὶ τὸ ὄνομα τοῦ τόπου ἐντίθησιν ἐν τοῖς γράμμασιν ὁ μακάριος Μωϋσῆς, ἵνα μὴ ἐξῇ τοῖς φλυαρεῖν μάτην βουλομένοις ἀπατᾶν τῶν ἀφελεστέρων τὰς ἀκοὰς καὶ λέγειν μὴ εἶναι ἐν τῇ γῇ τὸν παράδεισον ἀλλ' ἐν οὐρανῷ, καὶ μυθολογίας τοιαύτας ὀνειροπολεῖν. Εἰ γὰρ καὶ τοσαύτῃ χρησαμένης ἀκριβείᾳ τῆς θείας Γραφῆς, οὐ παρῃτήσαντό τινες τῶν ἐπὶ εὐγλωττίᾳ μεγαλοφρονούντων καὶ τῇ σοφίᾳ τῇ ἔξωθεν ἀπ' ἐναντίας τοῖς γεγραμμένοις φθέγγεσθαι, καὶ εἰπεῖν μὴ ἐπὶ γῆς εἶναι τὸν παράδεισον, καὶ πολλὰ ἕτερα τῶν εἰρημένων παρεγγυῶντες, μὴ ὡς γέγραπται φρονεῖν, ἀλλ' ἀπ' ἐναντίας ἔρχεσθαι, καὶ τὰ ἐπὶ γῆς εἰρημένα περὶ τῶν ἐν οὐρανοῖς νομίζειν εἰρῆσθαι, εἰ μὴ τῇ ταπεινότητι τούτων τῶν λόγων καὶ τῇ συγκαταβάσει ἐχρήσατο ὁ f 190v μακάριος Μωϋσῆς, τοῦ ἁγίου Πνεύματος τὴν || γλῶτταν αὐτοῦ κινοῦντος, ποῦ ἂν ἐξεκυλίσθησαν, καίτοι γε τῆς ἁγίας Γραφῆς, ἐπειδὰν βούληταί τι τοιοῦτον ἡμᾶς διδάσκειν, ἑαυτὴν ἑρμηνευούσης, καὶ οὐκ ἀφιείσης πλανᾶσθαι τὸν ἀκροατήν; Ἀλλ' ἐπειδὴ οἱ πολλοὶ οὐ διὰ τὸ καρ-

¹) Migne PG. 29,188—189. ἐν τῇ φα : Βασιλείου. ²) Εἰς τὴν Γένεσιν ὁμιλία XIII, παρὰ Migne PG. 53,108. ἐν τῇ φα : Χρυσοστόμου.

Ε.Υ.Δ τ.ς Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

πώσασθαί τι κέρδος ἐκ τῶν θείων Γραφῶν, ἀλλὰ τέρψεως ἕνεκεν τὰς ἀκοὰς ὑπέχουσι τοῖς τὰ παριστάμενα λέγουσι, διὰ τοῦτο οὐ τοῖς ὠφελοῦσιν, ἀλλὰ τοῖς τέρπειν μᾶλλον δυναμένοις προσέχειν σπουδάζουσι. Διό, παρακαλῶ, πᾶσι τοῖς τοιούτοις τὰς ἀκοὰς ἀποτειχίσαντες, τῷ κανόνι τῆς ἁγίας Γραφῆς κατακολουθήσωμεν. Κἂν ὅταν ἀκούσῃς, ἀγαπητέ, ὅτι «ἐφύτευσε παράδεισον ὁ Θεὸς ἐν Ἐδὲμ κατὰ ἀνατολάς», τὸ μὲν «ἐφύτευσε» θεοπρεπῶς ἐπὶ Θεοῦ νόει ὅτι προσέταξε, τὸ δὲ ἑξῆς πίστευε, ὅτι καὶ παράδεισος γέγονε, καὶ ἐν ἐκείνῳ τῷ τόπῳ, ἔνθα ἡ Γραφὴ ἐπεσημήνατο. Τὸ γὰρ μὴ πιστεύειν τοῖς ἐν τῇ θείᾳ Γραφῇ κειμένοις, ἀλλ' ἕτερα ἐπεισάγειν ἐξ οἰκείας διανοίας, πολὺν ἡγοῦμαι κίνδυνον φέρειν τοῖς τοῦτο ποιεῖν τολμῶσιν». Ἰδοὺ πάντα ἀκριβῶς, φησίν, εἰπεῖν τὴν θείαν Γραφήν, καὶ ὅτι ὅταν τι συγκαταβατικώτερον ἐπὶ Θεοῦ εἴποι, τοῦτο διὰ τὰ κτιζόμενα, καὶ ὅτι ἑαυτὴν ἑρμηνεύει ἡ θεία Γραφὴ καὶ οὐ δεῖ προσέχειν τοῖς ἐκτὸς ταύτης τὶ λαλοῦσι. Τὰ αὐτὰ δήπου ἐν διαφόροις χωρίοις ἀριδήλως παριστᾷ ὁ θεῖος οὗτος ἀνήρ, ἅπερ ἐκ τῆς περὶ ταῦτα βίβλου ἔξεστι τὸν βουλόμενον γνῶναι καὶ μαθεῖν. Καθ' ἃ δὴ καὶ Ἀναστάσιος ἀπέδειξε καὶ ἔτι Μακάριος ὁ Αἰγύπτιος ἀποδεικνύει, οὑτωσί περὶ τοῦ ξύλου τῆς γνώσεως ἀποφαινόμενος, ὅτι διαφόρως καὶ τοῦτο νοεῖται. «Τὸ δένδρον γάρ, δένδρον ἦν ὁρατόν, ὡς ἓν τῶν λοιπῶν· καὶ ὁ παράδεισος ὁρατὸς ἦν. Ἀλλὰ τὰ ὁρατὰ τύπος ἐστὶ τῶν ἀοράτων. Ὥσπερ γὰρ καθ' ἕκαστον ἡμῶν δύο εἰσὶν ἄνθρωποι, ὅ τε τοῦ σώματος καὶ ὁ τῆς ψυχῆς, οὕτω καὶ ὁ φαινόμενος ἄνθρωπος εἰς φαινόμενον παράδεισον ἐνετρύφα, καὶ ὁ κρυπτὸς τῆς καρδίας ἄνθρωπος τὸν ἀόρατον τῶν ἁγίων ἀγγέλων νοητὸν παράδεισον ἀπέλαυε. Δένδρον οὖν ἦν ὁρώμενον, ἐξ οὗ ἐκελεύσθη ὑπὸ τοῦ Θεοῦ μὴ φαγεῖν. Πάντων γὰρ αὐτὸν τῶν ὁρωμένων δεσπότην κατέστησεν, ἑνὸς δένδρου μὴ κυριεύειν κατ' οἰκονομίαν προσέταξεν ὁ Θεός, εἰς ὑπόμνησιν τῆς δεσποτικῆς ἀξίας, ἵνα γνωρίζῃ μείζονα ἔχειν τὸν ἑαυτοῦ δεσπότην καὶ κτίστην, καὶ μὴ διὰ τὴν δοθεῖσαν αὐτῷ ἐξουσίαν εἰς οἴησιν καὶ δόξῃ Θεὸς εἶναι».

ιϛ) Ὅτι τὸ ἀναγωγικῶς περὶ τῶν ξύλων ῥηθὲν τῷ Δαμασκηνῷ Ἰωάννῃ, αὐτὸς πραγματικῶς νοῶν, κακῶς ἐκλαμβάνεις, αὐτοῦ καθα-

17) τὰ «καθ' ἃ δὴ καὶ Ἀναστάσιος ἀπέδειξε . . . . καὶ δόξῃ Θεὸς εἶναι» ἐκ τῆς κάτω ῷας συνεπείᾳ παραπεμπτικοῦ σημείου. 19) ἐν τῇ ῷᾳ: Μακαρίου.

1) ἀλλὰ τέρψεως χάριν ἕνεκεν A 7) νόει, ἐλλείπει A 10) πολλὴν A

Επ.Δ τηρ. Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

f 191r ρῶς τὰ περὶ τοῦ παραδείσου διηγουμένου, || ὡς ὅτι καὶ φυτὰ εἶχεν ὁ παράδεισος ἀειθαλῆ καὶ αἰσθητός ἐστι καὶ νοητός, καταλλήλως τῇ τοῦ ἀνθρώπου φύσει.

ιζ) Ὅτι καὶ τὸν Νύσσης Γρηγόριον τὰ αὐτὰ ἐμπεδοῦντα παρήγαγες. Καὶ πῶς αὐτὸς εἰς τὴν εἴσβασιν τῶν νηστειῶν φησιν, «ἐλθὲ μνήμῃ πρὸς τὴν ἀρχὴν τοῦ γένους ἡμῶν, καὶ τὴν πεῖραν εὑρήσεις ὧν μεμφόμεθα μάρτυρα· οὐκ ἂν γὰρ ἐτέθη νόμος νηστείας, εἰ μὴ παρεβάθη τῆς ἐγκρατείας ὁ νόμος· οὐκ ἂν ὠνομάσθη γαστὴρ ἐπίβουλος, εἰ μὴ παράβασις ἐντολῆς τὴν ἁμαρτίαν εἰσήγαγεν»; Ἄκουσον δὲ αὐτοῦ καὶ ἐν τῇ εἰς Πέτρον τὸν ἀδελφὸν περὶ τῆς ἑξαημέρου ἀπολογίᾳ τί φησι. «Τὰ δὲ ἡμέτερα ὡς γυμνασίᾳ τινὶ στοχαστικῶς ἐπιχειρούμενος τοῖς ἐντυγχάνουσι προκείσθω, μηδεμιᾶς μηδενὶ διὰ τούτων βλάβης προσγινομένης, εἴ τι παρὰ τὴν κοινὴν ὑπόληψιν ἐν τοῖς λεγομένοις εὑρίσκοιτο. Οὐ γὰρ δόγμα τὸν λόγον ποιούμεθα, ὥστε ἀφορμὴν δοῦναι τοῖς διαβάλλουσιν, ἀλλ' ὁμολογοῦμεν γυμνάζειν μόνον ἑαυτῶν τὴν διάνοιαν τοῖς προκειμένοις νοήμασιν, οὐδὲ διδασκαλίαν ἐξηγητικὴν τοῖς ἐφεξῆς ἀποτίθεσθαι». Καὶ πρὸς τὸ τέλος αὖθίς φησι. «Ταῦτά σοι, ὦ ἄνθρωπε τοῦ Θεοῦ, περὶ τῶν προβληθέντων ἡμῖν παρὰ τῆς συνέσεώς σου ἀποκρινόμεθα, μήτε τι τῆς γραφικῆς λέξεως εἰς τροπικὴν ἀλληγορίαν μεταποιήσαντες, μήτε παριδόντες τι τῶν ἀντιτεθέντων ἡμῖν ἀνεξέταστον, ἀλλ' ὡς ἦν δυνατὸν μενούσης τῆς ἐξελίξεως ἐπὶ τῆς ἰδίας ἐμφάσεως τῷ τῆς φύσεως εἱρμῷ διὰ τῆς θεωρίας τῶν ὀνομάτων ἠκολουθήσαμεν, δι' ὧν τὸ μηδὲν ὑπεναντίως ἔχειν τῶν δοκούντων κατὰ τὴν ἐπιπολαιοτέραν ἀνάγνωσιν, ἀλλὰ συμφωνεῖν ἀλλήλοις, καθὼς ἦν δυνατὸν ἀπεδείξαμεν». Δείκνυσιν μὲν οὖν ἑαυτὸν ὁ διδάσκαλος διὰ μὲν τῶν δευτέρων τὸ κείμενον μᾶλλον ἢ τὴν ἀλληγορίαν ἀσπαζόμενον, διὰ δὲ τῶν προτέρων ὡς, εἴ τι ἀφ' ἑαυτοῦ ἐλάλησε, στοχαστικῶς οὐ δογματικῶς εἴρηκε. Διὸ καὶ ἐν τῇ πρὸς Φορτουνᾶτον ἐπιστολῇ φησιν. «Οὐδὲ τὰς τῶν ὡντινωνοῦν διαλέξεις, κἂν καθολικοί τινες ἄνδρες ὦσι καὶ περιβόητοι, ὥσπερ τὰς κανονικὰς Γραφὰς ἔχειν ὀφείλομεν, ὡς μὴ ἐξεῖναι καὶ ἡμῖν σῳζομένης τῆς ὀφειλομένης αὐτοῖς τιμῆς τὶ τῶν ἐν
f 191v τοῖς αὐτῶν συγγράμμασιν ἀποδοκιμάζειν καὶ || διαπτύειν, εἴ ποτέ τι φωράσαιμεν, ὃ ἄλλως φρονοῦσιν ἢ ἡ ἀλήθεια ἔχει τῇ τοῦ Θεοῦ βοηθείᾳ ἢ παρ' ἄλλων ἢ παρ' ἡμῶν νοηθεῖσα. Ἐγωγ' οὖν τοιοῦτός εἰμι

[5]) Migne PG. 40,373. ἐν τῇ ᾠᾳ: Γρηγορίου Νύσσης.

[9]) εἰ μὴ πρόφασις ἡδονῆς, παρὰ Migne. [28]) Φουρτουνᾶτον A

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ἐν τοῖς τῶν ἄλλων συγγράμμασιν, οἵους εἶναι θέλω τοὺς τὰ ἡμέτερα μετιόντας». Τὰ ὅμοια ἴδοις ἂν καὶ Αὐγουστῖνον ἐν τῷ περὶ μοναδικοῦ βαπτίσματος δευτέρῳ βιβλίῳ φάσκοντα. «Τὶς οὐκ οἶδε τὴν κανονικὴν ἁγίαν Γραφὴν ὡς μὲν τῆς παλαιᾶς διαθήκης ὡς δὲ καὶ τῆς νέας ἐπὶ τῶν ἑαυτῆς ὅρων βεβαίως ἑστῶσαν, οὕτω τε αὐτὴν προτίθεσθαι πάντων τῶν μετὰ ταῦτα συγγραφέντων παρὰ τῶν ἐπισκόπων, ὡς περὶ μὲν ἐκείνης μηδένα δύνασθαι πάντῃ ἀμφιβάλλειν καὶ διακρίνεσθαι πότερον ἀληθὲς ἢ πότερον ὀρθόν ἐστι τὸ ἐν αὐτῇ γραφέν; Τῶν δὲ γραφομένων ἢ καὶ γραφησομένων παρὰ τῶν ἐπισκόπων γραμμάτων μετὰ τὸν βέβαιον κανόνα καὶ διὰ λόγου ἴσως σοφωτέρου τινὸς τῶν ἐν τοῖς τοιούτοις ἐμπειροτέρου ἀποδεικνυμένου καὶ βαρυτέρᾳ ἐπισκόπων ἀποφάσει καὶ διδασκαλικωτέρᾳ φρονήσει καὶ συνόδοις κυρουμένων, μέμψεις ἐξεῖναι γίνεσθαι». Ἔστωσαν οὖν σοι καὶ ταῦτα εἰς πληροφορίαν, ἵνα μὴ πᾶσιν ὁμοίως προσέχῃς τοῖς ὑπὸ τῶν διδασκάλων λεγομένοις. Ὁ δὲ Χριστὸς εἰπὼν «βρῶσιν ἔχω φαγεῖν, ἣν ὑμεῖς οὐκ οἴδατε», εὐθέως ἐπήγαγεν «ἐμὸν βρῶμά ἐστιν ἵνα ποιῶ τὸ θέλημα τοῦ πατρός μου τοῦ ἐν οὐρανοῖς». Ὥστε εἰ καὶ περὶ τῆς τοῦ Ἀδὰμ διαγωγῆς τοιοῦτον ἐπήχθη, εὔκαιρον ἄν σοι ἐναντιοῦσθαι. Τοῦτο οὖν νόει καὶ ἐπὶ τῶν λοιπῶν.

ιη) Ὅτι εἰ αἰσθητῆς βρώσεως μετελάμβανον οἱ πρωτόπλαστοι, ἀνάγκη ἦν καὶ τὸν σωματικὸν ὑποστῆναι || θάνατον. Τοῦτο δὲ ῥᾳδιουργία προδήλως διαβολικὴ καὶ οὐδεμία ἡ ἀνάγκη, ὡς σὺ φής, τὸν τὸ πρῶτον ἔχοντα καὶ τὰ δεύτερα ἐξ ἀνάγκης ἔχειν. Ἐπείπερ εἰ τοῦτο δώσομεν ὡς ἀκόλουθον, μᾶλλον ἔστ' ἂν ἐκεῖνο ἀκολουθότερον, τὸν μὴ ἐσθίοντα μηδ' ἀποθανεῖν. Καὶ πῶς ἀπέθανον; Εἰ δ' ἀπὸ Θεοῦ ὁ θάνατος, οἰκειότερον ἂν εἴη μᾶλλον παρ' αὐτοῦ ἡ ζωή. Ἐπεὶ καὶ Θεοῦ τοῦτο ἴδιον, οὐ τὸ ἀνάπαλιν, ὥς φησι Διονύσιος Ἀθηνῶν. f. 192r

ιθ) Ὅτι ἀδύνατον ἄφθαρτον διαμένειν τὸν αἰσθητῆς βρώσεως ἐν μετουσίᾳ γενόμενον. Ἡμεῖς δὲ διὰ τοῦτο λέγομεν μὴ πάντῃ ἄφθαρτον ὑπάρχειν τὸν Ἀδὰμ διὰ τὸ αἰσθητῆς βρώσεως μεταλαμβάνειν. Εἰ δὲ τοῦτο νοεῖς, ὅτι ἀδύνατον ὅλως τὸν μεταλαμβάνοντα αἰσθητῆς βρώσεως γενέσθαι ἄφθαρτον, ἴσθι ὅση ἡ εὐήθεια. Νοεῖν σοι γὰρ ἔξεστιν, ὅτι οὐδὲ ἐν τῇ μελλούσῃ ἀποκαταστάσει ὅσοι μετέλαβον τροφῆς ἀφθαρτισθήσονται. Εἰς μέσον δὲ καὶ τοῦ Ξανθοπούλου συναξάριον ἀγαγὼν ὅσα μὲν εἰς τὴν σὴν διάνοιαν ποσῶς συνέφερεν, ἔγραψας,

2) ἐν τῇ ῷᾳ : Αὐγουστίνου. 15) Ἰω. 4, 32—34.

2) ἴδῃς ἂν A 10) σοφοτέρου A

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006